6. *Ἐπαινοῦντός τινος τοὺς ⟨Ἀργείους ὡς⟩ ἀρίστους μαχητάς, Λάκων εἶπεν ʽἐν Τροίᾳ.ʼ*

7. *Ἕτερος ἀκούσας δειπνήσαντάς τινας βιάζεσθαι πίνειν ʽμὴ καὶ ἐσθίειν̓ εἶπε ʽβιάζονται;ʼ*

8. *Πινδάρου δὲ γράψαντος* (dith. 4 fr. 76 Schr.)

*Ἑλλάδος ἔρεισμα Ἀθῆναι*

*Λάκων ἔφη καταπεσεῖν ἂν τὴν Ἑλλάδα ὀχουμένην ἐρείσματι τοιούτῳ.*

9. *Ἐπεὶ δʼ ἰδών τις ἐν πίνακι γραπτῷ Λάκωνας ὑπʼ Ἀθηναίων σφαττομένους ἔλεγεν ʽἀνδρεῖοί γʼ Ἀθηναῖοιʼ, Λάκων ὑποτυχὼν ʽἐν τῷ πίνακιʼ εἶπε.*

F 10. *Πρὸς δέ τινα προσιέμενον τὰς ἐκ διαβολῆς βλασφημίας Λάκων εἶπε ʽπαῦσαι κατʼ ἐμοῦ τὰ ὦτα χορηγῶν.ʼ*

11. *Πρὸς δὲ τὸν κολαζόμενον καὶ λέγοντα ʽἄκων ἥμαρτονʼ εἶπέ τις ʽἄκων τοίνυν καὶ κολάζου.ʼ*

12. *Ἰδών τις ἐν ἀποχωρήσει θακεύοντας ἐπὶ δίφρων ἀνθρώπους ʽμὴ γένοιτοʼ εἶπεν ʽἐνταῦθα καθίσαι, ὅθεν οὐκ ἔστιν ⟨ὑπ⟩εξαναστῆναι πρεσβυτέρῳ.ʼ*

13. *Χίων ποτὲ κατʼ ἐπιδημίαν ἀπὸ δείπνου ἐμεσάντων ἐν τῷ ἐφορείῳ καὶ χεσάντων ἐπὶ τῶν δίφρων, ἔνθα*
**233** *οἱ ἔφοροι ἐκάθηντο, | τὸ μὲν πρῶτον ἰσχυρῶς ἀνεζήτουν*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/197 UNIVERSITÄT LEIPZIG